UiO Institutt for filosofi, idé- og kunsthistorie og klassiske språk
Det humanistiske fakultet

# EKSAMEN I GRE1401 Attisk prosa I HØST 2018

Oppgaven består av 2 sider.

Onsdag 5. desember (4 timer) **Ingen hjelpemidler**

## Alle spørsmål skal besvares

Lysias, *Forsvarstale for drapet på Eratosthenes* § 43-45 og 47.

[43] τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες: σκέψασθε δὲ παρ᾽ ὑμῖν αὐτοῖς οὕτως περὶ τούτου τοῦ πράγματος, ζητοῦντες εἴ τις ἐμοὶ καὶ Ἐρατοσθένει ἔχθρα πώποτε γεγένηται πλὴν ταύτης. οὐδεμίαν γὰρ εὑρήσετε. [44] οὔτε γὰρ συκοφαντῶν γραφάς με ἐγράψατο, οὔτε ἐκβάλλειν ἐκ τῆς πόλεως ἐπεχείρησεν, οὔτε ἰδίας δίκας ἐδικάζετο, οὔτε συνῄδει κακὸν οὐδὲν ὃ ἐγὼ δεδιὼς μή τις πύθηται ἐπεθύμουν αὐτὸν ἀπολέσαι, οὔτε εἰ ταῦτα διαπραξαίμην, ἤλπιζόν ποθεν χρήματα λήψεσθαι: ἔνιοι γὰρ τοιούτων πραγμάτων ἕνεκα θάνατον ἀλλήλοις ἐπιβουλεύουσι. [45] τοσούτου τοίνυν δεῖ ἢ λοιδορία ἢ παροινία ἢ ἄλλη τις διαφορὰ ἡμῖν γεγονέναι, ὥστε οὐδὲ ἑωρακὼς ἦ τὸν ἄνθρωπον πώποτε πλὴν ἐν ἐκείνῃ τῇ νυκτί. τί ἂν οὖν βουλόμενος ἐγὼ τοιοῦτον κίνδυνον ἐκινδύνευον, εἰ μὴ τὸ μέγιστον τῶν ἀδικημάτων ἦ ὑπ᾽ αὐτοῦ ἠδικημένος; … [47] ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, οὐκ ἰδίαν ὑπὲρ ἐμαυτοῦ νομίζω ταύτην γενέσθαι τὴν τιμωρίαν, ἀλλ᾽ ὑπὲρ τῆς πόλεως ἁπάσης: οἱ γὰρ τοιαῦτα πράττοντες, ὁρῶντες οἷα τὰ ἆθλα πρόκειται τῶν τοιούτων ἁμαρτημάτων, ἧττον εἰς τοὺς ἄλλους ἐξαμαρτήσονται, ἐὰν καὶ ὑμᾶς ὁρῶσι τὴν αὐτὴν γνώμην ἔχοντας.

**Oppgave 1**

Oversett utdraget.

**Oppgave 2**

a) Bestem form og angi oppslagsform for følgende verb: εὑρήσετε, πύθηται, διαπραξαίμην, ὁρῶντες.

b) τῆς πόλεως, (τὰ) χρήματα: Hvilken kasus? Gi oppslagsform.

c) Hva slags leddsetning innleder ὥστε?

d) Nevn to kjennemerker for Attisk dialekt i motsetning til Jonisk. Finn et eksempel av hvert i utdraget.

**KANDIDATEN BES SKRIVE TYDELIG MED PENN**

**Oppgave 3**

a) Hvilken del av talen tilhører § 43-45? Hvorfor?

b) Gi et sammendrag av talens struktur og innhold (1-2 sider).

c) Kommenter (οἷα) τὰ ἆθλα (retorisk).